σοῦ προς δόμους ἐλϑόντος εὖ πράξαιμί τι.
ΟΙ. ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
ΑΓ. ὦ παῖ, καλῶς εἶ ϑῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙ. πῶς, ὦ γεραιέ; πρὸς ϑεῶν δίδασκέ με.
ΑΓ. εἰ τῶνδε φεύγεις εἵνεκ' εἰς οἴκους μολεῖν.
ΟΙ. ταρβῶν γε μή μοι Φοῖβος ἐξέλϑῃ σαφής.
ΑΓ. ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
ΟΙ. τοῦτ' αὐτὸ, πρέσβυ, τοῦτί μ' εἰσαεὶ φοβεῖ.
ΑΓ. ἆρ' οἶσϑα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
ΟΙ. πῶς δ' οὐχὶ, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
ΑΓ. ὁϑούνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
ΟΙ. πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
ΑΓ. οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρὸς, ἀλλ' ἴσον.
ΟΙ. καὶ πῶς ἱ φύσας ἐξ ἴσου τῷ μηδενί;
ΒΓ. ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος οὔτ' ἐγώ.
ΟΙ. ἀλλ' ἀντὶ τοῦ δὶ παῖδά μ' ὠνομάζετο;
ΑΓ. δῶρόν ποτ', ἴσϑι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙ. κᾆϑ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
ΑΓ. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙ. σὺ δ' ἐμπολήσας ἢ τυχών μ' αὐτῷ δίδως;
ΑΓ. εὑρὼν ναπαίαις ἐν Κιϑαιρῶνος πτυχαῖς.
ΟΙ. ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;

1007. *τοῖς φυτεύσασίν γ' ὁμοῦ* mss. *τοῖς φυτεύσασιν πέλας* Herw. Qu. *τῶν φυτευσάντων πέλας.*

1010. *οὕνεκ'* mss. Dedi *εἵνεκ'*. *εἰς οἴκους* mss. Suspectum mihi ut Nauckio. Qu. *ἐς Θήβας.*

1011. *ταρβῶ* L. *ταρβῶν* al. Erf. Recte.

1019. *ἐξ ἴσου τῷ μηδενί* mss. *ἐξ ἴσου τῷ μὴ σθένει* (i. qu. *δύναται*, valet) Fraenkel.. Qu. *ἐξ ἴσου τῷ μή; λέγε.* Cf. 61. *ἐξ ἴσου νοσεῖ.* 563. 627. O. C. 254. 1374. Ant. 516. 644. Tr. 322. 485. Poeta *ἴσος ἐστί τινι* scribere poterat, vix *ἐξ ἴσου ἐστί τινι.* Requiritur omnino verbum aliquod quale est *σθένει.*

1022—1024. Inverso ordine Nauck.

1022. *τῶν ἐμῶν χειρῶν λαβών*] Cf. 1004.

1023. *μέγα* mss. Inter *μέ* et *γα* duae litterae erasae in L. *λαβών* Nauck. Qu. *μ' ἔχων.*

1025. *τεκών* mss. *τυχών* Both. Nauck. Certissima correctio. Cf. 1039. *ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες οὐδ'* (*οὐκ?*) *αὐτὸς τυχών;*